τέτρατον ἄλγος ἔτικτε καὶ οὐκ ἀνέμεινεν ἀδήλους
ἐλπίδας, ἐν δὲ πυρὶ ζωὸν ἔθηκε βρέφος,
"οὐ θρέψω", λέξασα, "τί γὰρ πλέον; Ἅιδι, μαστοί,
κάμνετε· κερδήσω πένθος ἀμοχθότερον."

## II

γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ᾽ ἔλθῃ,
μέμφεται. ἔστι δ᾽ ἀεὶ κρεῖσσον ὀφειλόμενον.

## III

εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
γηράσκειν πολλὰς εἰς ἐτέων δεκάδας.

# NICANDER

## I

Ἑρπυλίδας, Ἐράτων, Χαῖρις, Λύκος, Ἆγις, Ἀλέξων,
ἓξ Ἰφικρατίδα παῖδες, ἀπωλόμεθα
Μεσσάνας ὑπὸ τεῖχος· ὁ δ᾽ ἕβδομος ἄμμε Γύλιππος
ἐν πυρὶ θεὶς μεγάλαν ἦλθε φέρων σποδιάν,
Σπάρτᾳ μὲν μέγα κῦδος, Ἀλεξίππᾳ δὲ μέγ᾽ ἄχθος
ματρί· τὸ δ᾽ ἓν πάντων καὶ καλὸν ἐντάφιον.

## II

Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον,
ὃς μόνος ἐκ Θυρέας οὐκ ἐθέλησε μολεῖν